οὐ τῶν ἄκρων ἡμᾶς ἀκούειν χρῆναι ποιοτήτων, ἀλλὰ κατὰ τὴν πλεονεκτοῦσαν ἀεὶ γίγνεσθαι τὴν προσηγορίαν.

Εἰ δ' οὐ βούλονται τὴν εὔκρατον παραλελεῖφθαι, τῶν
ἄλλων τινὰ δειχθήσονται παραλιπόντες. ἔστω γὰρ εὔκρατον
εἶναι τὴν ὑγρὰν καὶ θερμήν, ὥσπερ αὐτοὶ βούλονται.
παραλελοίπασιν ἄρα τὴν ἀντικειμένην τῇ ψυχρᾷ καὶ ξηρᾷ
δυσκρασίᾳ, ἐν ᾗ τὸ ὑγρὸν πλεονεκτεῖ καὶ τὸ θερμόν. ἀλλ'
αὐτή, φασίν, ἐστὶν ἥδε. καὶ πῶς ἐνδέχεται καὶ πλεονεκτεῖν
521 ἅμα καὶ μὴ πλεονεκτεῖν τὸ θερμὸν | καὶ κρατεῖσθαι καὶ μὴ
κρατεῖσθαι τὸ ψυχρόν; εἰ μὲν γὰρ εὔκρατός ἐστιν, οὐδὲν
οὐδενὸς ἀμέτρως ἐπικρατεῖ, εἰ δὲ δύσκρατος, ἀνάγκη πλεο-
νεκτεῖν τι τῶν ἐκ τῆς ἀντιθέσεως. ἀλλ' αὐτὸ τοῦτο, φασίν,
ἴδιόν ἐστι τῆς εὐκράτου τὸ κρατεῖν ἐν αὐτῇ τὸ μὲν θερμὸν
τοῦ ψυχροῦ, τὸ δ' ὑγρὸν τοῦ ξηροῦ. κρατήσαντος γὰρ δὴ
τοῦ ψυχροῦ μετρίως μέν, οὐκ ἀγαθὴν εἶναι τὴν κρᾶσιν, ἔτι
δὲ μᾶλλον, νόσον ἤδη γίγνεσθαι, καθάπερ, εἰ καὶ σφοδρῶς
κρατήσειε, θάνατον. οὕτω δὲ κἀπὶ τοῦ ξηροῦ συμπίπτειν
ἐν ἀρχῇ μὲν δυσκρασίαν, ἐπὶ πλέον δὲ νόσον, ἐπὶ πλεῖστον
δὲ κρατήσαντος θάνατον, ὥσπερ οὐχὶ κἀπὶ τῆς ὑγρᾶς καὶ
θερμῆς ταῦτα συμπίπτοντα. τίς γὰρ οὐκ ἂν ὁμολογήσειεν,
ἐπειδὰν μὲν ἐπ' ὀλίγον ἢ τὸ θερμὸν τοῦ ψυχροῦ τύχῃ
πλεονεκτῆσαν ἢ τὸ ὑγρὸν τοῦ ξηροῦ, δυσκρασίαν οὕτω
γιγνομένην, ἐπειδὰν δ' ἐπὶ πλέον, νόσον, ἐπειδὰν δ' ἐπὶ
πλεῖστον, θάνατον; ὁ γὰρ αὐτὸς ἐπ' ἀμφοῖν λόγος. ἢ μηδὲ
τὰς ἀμέτρως ὑγρὰς καὶ θερμὰς καταστάσεις αἰτιώμεθα μηδ'
ὅσα μεθ' ὑγρότητος ἀμέτρου νοσήματα συνίσταται θερμά,
522 | μηδὲ ταῦθ' ὁμολογῶμεν εἶναι νοσήματα.

Πρὸς δὴ τοὺς τοιούτους λόγους ἀπομαχόμενοί τινες τῶν

---

1 ἄκρως L ‖ ἡμᾶς ἀκ. LMV ἀκ. ἡ. O ‖ ad χρῆναι vocab. in marg. add. ἀξιοῦσιν $O^2$ ‖ 2 τὰς προσηγορίας M τὴν om. L ‖ 4 τινὰ τῶν ἄλλων L ‖ 6 post ἄρα add. φανερῶς MV σαφῶς O om. L ‖ 7 δύσκρατον pro δυσκρασίᾳ MV ‖ 8 αὐτή] αὕτη L ‖ 9 τὸ θερμὸν post ἅμα colloc. O ‖ 17 δὲ] δὲ δὴ M ‖ συμπίπτει LM ‖ 19 ὥσπερ εἰ οὐκ ἐπὶ M ὥσπερ εἰ οὐχὶ V ‖ 20 συνέπιπτον V ‖ post ὁμολογήσειεν add. ὡς O om. LMV ‖ 21 ἢ τὸ ψυχρὸν τοῦ θερμοῦ $L^1$ ἢ τ. θερμὸν τοῦ ψυχροῦ $L^2$ ‖ πλεονεκτῆσαν τύχῃ L ‖ 22 τὸ ξηρὸν τοῦ ὑγροῦ O ‖ 23 ἐπὶ πλεῖστον δὲ pro ἐπ. δ' ἐπὶ πλ. M ‖ 25 μηδ'] μήθ' L

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id413088340/24 UNIVERSITÄT LEIPZIG